# Τηρεύς

111

Ανθολ. Επιγρ.
Εκδ. Διδότου
Τ. Β΄ Κεφ. IX
σ. 12

57 Παμφίλου.

Τίπτε πανημέριος, Πανδιονὶ κάμμορε κούρα,
μυρομένα κελαδεῖς θρῆνα διὰ πετάλων;
ἦ σοι παρθενίας ἄλγος ἵκετο, τάν τοι ἀπηύρα
Θρηΐκιος Τηρεὺς αἰνὰ βιασάμενος;

## Τηρεύς.

Ανθολ. Επιγρ. Εκδ. Διδότου Τ. Β'. Κεφ. ΙΧ σ. 12

### 57. Παμφίλου.

Τίπτε παναμέριος, Πανδιονὶ κάμμορε κόρα,
μυρομένα κελαδεῖς θρεῦμα διὰ γενύων;
ἦθοι παρθενίας πόθος ἵκετο, τάν τοι ἀπηνὰ
Θρηΐκιος Τηρεὺς αἰνὰ βιησάμενος;

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

112

# Πρόκνη. Φιλομήλα. Τηρεύς.

451. Ἀδέσποτον. Ανθολ. Επιγρ.

Τίνας ἂν εἴποι λόγους πρὸς Πρόκνην τὴν ἀδελφὴν Φιλομήλη. ἐκδ. Διδότ. Τ. Β΄. σ. 94.

Σός με πόσις κακοεργὸς ἐνὶ σπήλυγγι βαθείῃ
μνηστεύσας βαρύποτμον, ἐμὴν ἀπέκερσε κορείην·
γυμνὰ δέ μοι πόρεν ἕδνα πολυτλήτοιο γάμοιο·
γλῶσσαν ἐμὴν ἐθέρισσε, καὶ ἔσβεσεν Ἑλλάδα φωνήν.

452 Ἄλλο
εἰς τὸ αὐτό.

Χαῖρε, Πρόκνη, παρὰ σῆς κασιγνήτης Φιλομήλης
χαίρειν εἰ τόδε γ' ἐστίν· ἐμοῦ δέ σοι ἄλγεα θυμοῦ
πέπλος ἀπαγγείλειε, τά μοι λυγρὰ ὤπασε Τηρεύς,
ὅ μ' ἔρξας βαρύποτμον, ἐν ἕρκεσι μηλονομήων,
πρῶτον παρθενίης, μετέπειτα δ' ἐνόσφισε φωνῆς.